Eta Sigma Phi
Fifty-sixth Annual Greek Translation Contest (2005)
Intermediate

To be written as an examination, under supervision, with a maximum of two hours. No lexicon or other help is permitted. Please write in ink on every other line of the paper provided. The only identification on the contest paper should be your pen name.
**Translate the passage below into clear, idiomatic English.**

## THE STORY OF APRIATE AND TRAMBELOS

1. Ἐν Λέσβῳ παιδὸς Ἀπριάτης Τράμβηλος ὁ Τελαμῶνος ἐρασθεὶς πολλὰ ἐποιεῖτο εἰς τὸ προσαγαγέσθαι τὴν κόρην· ὡς δὲ ἐκείνη οὐ πάνυ ἐνεδίδου, ἐνενοεῖτο δόλῳ καὶ ἀπάτῃ περιγενέσθαι αὐτῆς. 2. πορευομένην οὖν ποτε σὺν θεραπαινιδίοις ἐπί τι τῶν πατρῴων χωρίων, ὃ πλησίον τῆς θαλάσσης ἔκειτο, λοχήσας εἷλεν. ὡς δὲ ἐκείνη πολὺ μᾶλλον ἀπεμάχετο περὶ τῆς παρθενίας, ὀργισθεὶς Τράμβηλος ἔρριψεν αὐτὴν εἰς τὴν θάλασσαν· ἐτύγχανε δὲ ἀγχιβαθὴς οὖσα. καὶ ἡ μὲν ἄρα οὕτως ἀπολώλει· τινὲς[1] μέντοι ἔφασαν διωκομένην ἑαυτὴν ῥῖψαι. 3. Τράμβηλον δὲ οὐ πολὺ μετέπειτα τίσις ἐλάμβανεν ἐκ θεῶν· ἐπειδὴ γὰρ Ἀχιλλεὺς ἐκ τῆς Λέσβου πολλὴν λείαν ἀποτεμόμενος ἤγαγεν, οὗτος, ἐπαγομένων αὐτὸν τῶν ἐγχωρίων βοηθόν, συνίσταται αὐτῷ. 4. ἔνθα δὴ πληγεὶς εἰς τὰ στέρνα παραχρῆμα πίπτει· ἀγάμενος δὲ τῆς ἀλκῆς αὐτὸν Ἀχιλλεὺς ἔτι ἔμπνουν ἀνέκρινεν ὅστις τε ἦν καὶ ὁπόθεν· ἐπεὶ δὲ ἔγνω παῖδα Τελαμῶνος ὄντα, πολλὰ κατοδυρόμενος ἐπὶ τῆς ἠιόνος μέγα χῶμα ἔχωσε· τοῦτο ἔτι νῦν ἡρῷον Τραμβήλου καλεῖται.

1 ἐνεδίδου from ἐνδίωμι, *give in.* 1 προσαγαγέσθαι *get for oneself.* 1 περιγένεσθαι from περιγίγνομαι *prevail over.* 2 λοχήσας from λοχάω, *waylay* . 2 ἀγχιβαθής *deep.* 3 λεῖαν from λεία, *plunder.* 3 ἐπαγομένων from ἐπάγομαι, bring in (takes direct object αὐτόν). 4 πληγείς from πλήσσω, *strike.* 4 παραχρῆμα *right away.* 4 ἀγάμενος from ἄγαμαι *wonder at* (+ gen.). 4 ἀνέκρινεν from ἀνακρίνω, *ask.* 4 κατοδυρόμενος from κατοδύρομαι, *grieve.* 4 ἠιόνος from ἠιών, *shore.* 4 χῶμα *mound.* 4 ἔχωσε from χόω, heap up